**ΔΙΘΥΡΑΜΒΟΣ**

**ΠΙΝΔΑΡΟΣ**

H. Maehler (ed.), *Pindarus. Pars II*: *Fragmenta* (Lipsiae 1989)

**fr. 70b M** *Κατάβασις Ἡρακλέους ἢ Κέρβερος Θηβαίοις*

………………………………..
οἷαν Βρομίου [τελε]τάν
καὶ παρὰ σκᾶ[πτ]ον Διὸς Οὐρανίδαι
ἐν μεγάροις ἵσταντι, σεμνᾷ μὲν κατάρχει
Ματέρι πὰρ μεγάλᾳ ῥόμβοι τυπάνων,
ἐν δὲ κέχλαδ[εν] κρόταλ' αἰθομένα τε
        δαΐς ὑπὸ ξανθαῖσι πεύκαις˙
ἐν δὲ Ναΐδων ἐρίγδουποι στοναχαί
μανίαι τ' ἀλαλαί τ' ὀρίνεται ῥιψαύχενι
σὺν κλόνῳ.
ἐν δ' ὁ παγκρατὴς κεραυνὸς ἀμπνέων
πῦρ κεκίνη[ται τό τ'] Ἐνυαλίου
ἔγχος, ἀλκάεσσά [τ]ε Παλλάδο[ς] αἰγίς
μυρίων φθογγάζεται κλαγγαῖς δρακόντων.
ῥίμφα δ' εἶσιν Ἄρτεμις οἰοπολὰς ζεύ–
        ξαισ' ἐν ὀργαῖς
Βακχίαις φῦλον λεόντων α[υυ-υυ-
ὁ δὲ κηλεῖται χορευοίσαισι κα[ὶ θη-
        ρῶν ἀγέλαις. ἐμὲ δ' ἐξαίρετο[ν
κάρυκα σοφῶν ἐπέων
Μοῖσ' ἀνέστασ' Ἑλλάδι κα[λ]λ[ιχόρῳ
εὐχόμενον βρισαρμάτοις ο[-υ Θήβαις.

**fr. 75 M** *ΑΘΗΝΑΙΟΙΣ*
Δεῦτ' ἐν χορόν, Ὀλύμπιοι,
ἐπί τε κλυτὰν πέμπετε χάριν , θεοί,
πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν θυόεντ'
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν˙
ἰοδέτων λάχετε στεφάνων τᾶν τ' ἐαρι–
        δρόπων ἀοιδᾶν,
Διόθεν τέ με σὺν ἀγλαΐᾳ
ἴδετε πορευθέντ' ἀοιδᾶν δεύτερον
ἐπὶ τὸν κισσοδαῆ θεόν,
τὸν Βρόμιον, τὸν Ἐριβόαν τε βροτοὶ καλέομεν,
γόνον ὑπάτων μὲν πατέρων μελπόμεν<οι>
γυναικῶν τε Καδμεϊᾶν {Σεμέλην}.

ἐναργέα τ’ ἔμ’ ὥτε μάντιν οὐ λανθάνει.
φοινικοεάνων ὁπότ’ οἰχθέντος Ὡρᾶν θαλάμου
εὔοδμον ἐπάγοισιν ἔαρ φυτὰ νεκτάρεα.
τότε βάλλεται, τότ’ ἐπ’ ἀμβρόταν χθόν’ ἐραταὶ
ἴων φόβαι, ῥόδα τε κόμαισι μείγνυται,
ἀχεῖ τ’ ὀμφαὶ μελέων σὺν αὐλοῖς,
οἰχνεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί. (1–19)

## ΒΑΚΧΥΛΙΔΗΣ

B. Snell and H. Maehler (eds.), *Bacchylides*, Stutgardiae–Lipsiae 1992

**Ode 15** (=dith. 1) *Ἀν]τηνορίδαι [ἢ Ἑλένη]ς Ἀπαίτησις*

*Α΄* Ἀντήνορος] ἀντιθέου
……]ρ̣α̣κ̣ο̣ι̣τις Ἀθάνας πρόσπολος,
× – ⏑ – ] Παλλάδος ὀρσιμάχου
– ⏑ – χ]ρυσέας
– ⏑ – – ⏑ ]ν Ὀδυσσεῖ
Λαρτιά̣δ̣α̣ Μενελ]άῳ τ’ Ἀτρεΐδα̣ βασιλεῖ
– ⏑ – – – βαθύ]ζωνος Θεανὼ
– – ⏑ ⏑ – ⏑ ⏑ ]ον
× – ⏑ ⏑ – ⏑ ⏑ – ] προσήνεπεν
× – ⏑ – – – ⏑ ἐ]ϋκτιμέναν
– – ⏑ – – – ⏑ –

– ⏑ – – – ⏑ – – ]δ̣ων τυχόντες
– ⏑ ⏑ – ⏑ ⏑ – – – ⏑ ⏑ – ] σὺν θεοῖς
– ⏑ – – – ⏑ – – – ⏑ – ]ους
– – ⏕ – ⏕ –

23 – – ⏕ – μεσονύ]κτιος κέαρ
*ΕΠ. Β΄* – – ⏑ – – – ⏕ – ⏕ –
ἆγον, πατὴρ δ’ εὔβουλος ἥρως
πάντα σάμαινεν Πριάμῳ βασιλεῖ
παίδεσσί τε μῦθον Ἀχαιῶν.
ἔνθα κάρυκες δι’ εὐ-
ρεῖαν πόλιν ὀρνύμενοι
Τρώων ἀόλλιζον φάλαγγας
δεξίστρατον εἰς ἀγοράν.
παντᾶ δὲ διέδραμεν αὐδάεις λόγος·
θεοῖς δ’ ἀνίσχοντες χέρας ἀθανάτοις
εὔχοντο παύσασθαι δυᾶν.
Μοῦσα, τίς πρῶτος λόγων ἆρχεν δικαίων;
Πλεισθενίδας Μενέλαος γάρυϊ θελξιεπεῖ
φθέγξατ’, εὐπέπλοισι κοινώσας Χάρισσιν·
ὦ Τρῶες ἀρηΐφιλοι,
Ζεὺς ὑψιμέδων, ὃς ἅπαντα δέρκεται,
οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων,
ἀλλ’ ἐν μέσῳ κεῖται κιχεῖν
πᾶσιν ἀνθρώποις Δίκαν ἰθεῖαν, ἁγνᾶς

Εὐνομίας ἀκόλουθον καὶ πινυτᾶς Θέμιτος·
ὀλβίων παῖδές νιν αἱρεῦνται σύνοικον.
ἁ δ᾽ αἰόλοις κέρδεσσι καὶ ἀφροσύναις
ἐξαισίοις θάλλουσ᾽ ἀθαμβὴς
Ὕβρις, ἃ πλοῦτ[ο]ν δύναμίν τε θοῶς
ἀλλότριον ὤπασεν, αὖτις
δ᾽ ἐς βαθὺν πέμπει φθόρον,
κείνα καὶ ὑπερφιάλους
Γᾶς] παῖδας ὤλεσσεν Γίγαντας.

**Ode 17** (=dith. 3) *Ηίθεοι [ἢ] Θησεύς*

Κυανόπρῳρα μὲν ναῦς μενέκτυπον
Θησέα δὶς ἑπτ[ά] τ᾽ ἀγλαοὺς ἄγουσα
κούρους Ἰαόνω[ν
Κρητικὸν τάμνε πέλαγος·
τηλαυγέϊ γὰρ [ἐν] φάρεϊ
βορήϊαι πίτνον αὖραι
κλυτᾶς ἕκατι π[ε]λεμαίγιδος Ἀθάνας:
κνίσεν τε Μίνωϊ κέαρ
ἱμεράμπυκος θεᾶς
Κύπριδος [ἁ]γνὰ δῶρα·
χεῖρα δ᾽ οὐ[κέτι] παρθενικᾶς
ἄτερθ᾽ ἐράτυεν, θίγεν
δὲ λευκᾶν παρηΐδων·
βόασέ τ᾽ Ἐρίβοια χαλκο-
θώρα[κα Π]ανδίονος
ἔκγ[ο]νον· ἴδεν δὲ Θησεύς,
μέλαν δ᾽ ὑπ᾽ ὀφρύων
δίνασεν ὄμμα, καρδίαν τέ ϝοι
σχέτλιον ἄμυξεν ἄλγος,
εἶρέν τε· “Διὸς υἱὲ φερτάτου,
ὅσιον οὐκέτι τεᾶν
ἔσω κυβερνᾷς φρενῶν
θυ[μόν]· ἴσχε μεγαλοῦχον ἥρως βίαν.
ὅ τι μ[ὲ]ν ἐκ θεῶν μοῖρα παγκρατὴς
ἄμμι κατένευσε καὶ Δίκας ῥέπει τά-
λαντον, πεπρωμέναν
αἶσαν ἐκπλήσομεν, ὅταν
ἔλθῃ· σὺ δὲ βαρεῖαν κάτε-
χε μῆτιν. εἰ καί σε κεδνὰ
τέκεν λέχει Διὸς ὑπὸ κρόταφον Ἴδας
μιγεῖσα Φοίνικος ἐρα-
τώνυμος κόρα βροτῶν
φέρτατον, ἀλλὰ κἀμὲ
Πιτθ[έ]ος θυγάτηρ ἀφνεοῦ
πλαθεῖσα ποντίῳ τέκεν
Ποσειδᾶνι, χρύσεόν
τέ οἱ δόσαν ἰόπλοκοι κά-
λυμμα† Νηρηΐδες.

τῶ σε, πολέμαρχε Κνωσίων,
κέλομαι πολύστονον
ἐρύκεν ὕβριν· οὐ γὰρ ἂν θελοι-
μ’ ἀμβρότου ἐραννὸν Ἀο[ῦς
ἰδεῖν φάος, ἐπεί τιν’ ἠϊθέων
σὺ δαμάσειας ἀέκον-
τα· πρόσθε χειρῶν βίαν
δε[ί]ξομεν· τὰ δ’ ἐπιόντα δα[ίμω]ν κρινεῖ.”
τόσ’ εἶπεν ἀρέταιχμος ἥρως·
τ]άφον δὲ ναυβάται
φ]ωτὸς ὑπεράφανον
θ]άρσος· Ἁλίου τε γαμβρῷ χόλωσεν ἦτορ,
ὕφαινέ τε ποταινίαν
μῆτιν, εἶπέν τε· “μεγαλοσθενὲς
Ζεῦ πάτερ, ἄκουσον· εἴ πέρ με νύμ[φα
Φοίνισσα λευκώλενος σοὶ τέκεν,
νῦν πρόπεμπ’ ἀπ’ οὐρανοῦ θοάν
πυριέθειραν ἀστραπάν
σᾶμ’ ἀρίγνωτον· εἰ
δὲ καὶ σὲ Τροιζηνία σεισίχθονι
φύτευσεν Αἴθρα Ποσει-
δᾶνι τόνδε χρύσεον
χειρὸς ἀγλαὸν
ἔνεγκε κόσμον ἐκ βαθείας ἁλός,
δικὼν θράσει σῶμα πατρὸς ἐς δόμους.
εἴσεαι δ’ αἴ κ’ ἐμᾶς κλύῃ
Κρόνιος εὐχᾶς
ἀναξιβρέντας ὁ πάντω[ν με]δ[έω]ν.”
κλύε δ’ ἄμεμπτον εὐχὰν μεγασθενὴ[ς
Ζεύς, ὑπέροχόν τε Μίνωϊ φύτευσε
τιμὰν φίλῳ θέλων
παιδὶ πανδερκέα θέμεν,
ἄστραψέ θ’· ὁ δὲ θυμάρμενον
ἰδὼν τέρας πέτασε χεῖρας
κλυτὰν ἐς αἰθέρα μενεπτόλεμος ἥρως,
εἶρέν τε· “Θησεῦ τάδ’ ἐ<μὰ>
μὲν βλέπεις σαφῆ Διὸς
δῶρα· σὺ δ’ ὄρνυ’ ἐς βα-
ρύβρομον πέλαγος· Κρονί[δας
δέ τοι πατὴρ ἄναξ τελεῖ
Ποσειδὰν ὑπέρτατον
κλέος χθόνα κατ’ ἠΰδενδρον.”
ὣς εἶπε· τῷ δ’ οὐ πάλιν
θυμὸς ἀνεκάμπτετ’, ἀλλ’ εὐ-
πάκτων ἐπ’ ἰκρίων
σταθεὶς ὄρουσε, πόντιόν τέ νιν
δέξατο θελημὸν ἄλσος.
τάφεν δὲ Διὸς υἱὸς ἔνδοθεν
κέαρ, κέλευσέ τε κατ’ οὖ-
ρον ἴσχεν εὐδαίδαλον

νᾶα· μοῖρα δ᾽ ἑτέραν ἐπόρσυν᾽ ὁδόν.
ἵετο δ᾽ ὠκύπομπον δόρυ· σόει
νιν βορεὰς ἐξόπιν πνέουσ᾽ ἀήτα·
τρέσσαν δ᾽ Ἀθαναίων
ἠϊθέων <-> γένος, ἐπεὶ
ἥρως θόρεν πόντονδε, κα-
τὰ λειρίων τ᾽ ὀμμάτων δά-
κρυ χέον, βαρεῖαν ἐπιδέγμενοι ἀνάγκαν.
φέρον δὲ δελφῖνες {ἐν}ἁλι-
ναιέται μέγαν θοῶς
Θησέα πατρὸς ἱππί-
ου δόμον· ἔμολέν τε θεῶν
μέγαρον. τόθι κλυτὰς ἰδὼν
ἔδεισε<ν> Νηρῆος ὀλ-
βίου κόρας· ἀπὸ γὰρ ἀγλα-
ῶν λάμπε γυίων σέλας
ὧτε πυρός, ἀμφὶ χαίταις
δὲ χρυσεόπλοκοι
δίνηντο ταινίαι· χορῷ δ᾽ ἔτερ-
πον κέαρ ὑγροῖσι ποσσίν.
εἶδέν τε πατρὸς ἄλοχον φίλαν
σεμνὰν βοῶπιν ἐρατοῖ-
σιν Ἀμφιτρίταν δόμοις·
ἅ νιν ἀμφέβαλεν ἀϊόνα πορφυρέαν,
κόμαισί τ᾽ ἐπέθηκεν οὔλαις
ἀμεμφέα πλόκον,
τόν ποτέ οἱ ἐν γάμῳ
δῶκε δόλιος Ἀφροδίτα ῥόδοις ἐρεμνόν.
ἄπιστον ὅ τι δαίμονες
θέλωσιν οὐδὲν φρενοάραις βροτοῖς·
νᾶα παρὰ λεπτόπρυμνον φάνη· φεῦ,
οἵαισιν ἐν φροντίσι Κνώσιον
ἔσχασεν στραταγέταν, ἐπεὶ
μόλ᾽ ἀδίαντος ἐξ ἁλὸς
θαῦμα πάντεσσι, λάμ-
πε δ᾽ ἀμφὶ γυίοις θεῶν δῶρ᾽, ἀγλαό-
θρονοί τε κοῦραι σὺν εὐ-
θυμίαι νεοκτίτῳ
ὠλόλυξαν, ἔ-
κλαγεν δὲ πόντος· ἠΐθεοι δ᾽ ἐγγύθεν
νέοι παιάνιξαν ἐρατᾷ ὀπί.
Δάλιε, χοροῖσι Κηΐων
φρένα ἰανθεὶς
ὄπαζε θεόπομπον ἐσθλῶν τύχαν.

## **Ode 18** *ΘΗΣΕΥΣ <ΑΘΗΝΑΙΟΙΣ>*

Α’ Χορός
Βασιλεῦ τᾶν ἱερᾶν Ἀθανᾶν,
τῶν ἁβροβίων ἄναξ Ἰώνων,
τί νέον ἔκλαγε χαλκοκώδων
σάλπιγξ πολεμηΐαν ἀοιδάν;
ἦ τις ἁμετέρας χθονὸς
δυσμενὴς ὅρι᾽ ἀμφιβάλλει
στρατα:γέτας ἀνήρ;
ἢ λῃσταὶ κακομάχανοι
ποιμένων ἀέκατι μήλων
σεύοντ᾽ ἀγέλας βίᾳ;
ἢ τί τοι κραδίαν ἀμύσσει;
φθέγγευ· δοκέω γὰρ εἴ τινι βροτῶν
ἀλκίμων ἐπικουρίαν
καὶ τὶν ἔμμεναι νέων,
ὦ Πανδίονος υἱὲ καὶ Κρεούσας.

Β΄ Αἰγεύς
Νέον ἦλθε<ν> δολιχὰν ἀμείψας
κᾶρυξ ποσὶν Ἰσθμίαν κέλευθον·
ἄφατα δ᾽ ἔργα λέγει κραταιοῦ
φωτός· τὸν ὑπέρβιόν τ᾽ ἔπεφνεν
Σίνιν, ὃς ἰσχύϊ φέρτατος
θνατῶν ἦν, Κρονίδα Λυταίου
σεισίχθονος τέκος·
σῦν τ᾽ ἀνδροκτόνον ἐν νάπαις
Κρεμμυῶνος, ἀτάσθαλόν τε
Σκίρωνα κατέκτανεν·
τάν τε Κερκυόνος παλαίστραν
ἔσχεν, Πολυπήμονός τε καρτεράν
σφῦραν ἐξέβαλεν Προκό-
πτας, ἀρείονος τυχὼν
φωτός. ταῦτα δέδοιχ᾽ ὅπᾳ τελεῖται.

Γ΄ Χορός
Τίνα δ᾽ ἔμμεν πόθεν ἄνδρα τοῦτον
λέγει, τίνα τε στολὰν ἔχοντα;
πότερα σὺν πολεμηΐοις ὅ-
πλοισι στρατιὰν ἄγοντα πολλάν;
ἢ μοῦνον σὺν ὀπάοσιν
στείχειν ἔμπορον οἷ᾽ ἀλάταν
ἐπ᾽ ἀλλοδαμίαν,
ἰσχυρόν τε καὶ ἄλκιμον
ὧδε καὶ θρασύν, ὅς τ<οσ>τούτων
ἀνδρῶν κρατερὸν σθένος
ἔσχεν; ἦ θεὸς αὐτὸν ὁρμᾷ,
δίκας ἀδίκοισιν ὄφρα μήσεται·
οὐ γὰρ ῥᾴδιον αἰὲν ἔρ-

δοντα μὴ 'ντυχεῖν κακῷ.
πάντ᾽ ἐν τῷ δολιχῷ χρόνῳ τελεῖται.

Δ΄ Αἰγεύς
Δύο οἱ φῶτε μόνους ἁμαρτεῖν
λέγει, περὶ φαιδίμοισι δ᾽ ὤμοις
ξίφος ἔχειν <υυ-υ-->
ξεστοὺς δὲ δύ᾽ ἐν χέρεσσ᾽ ἄκοντας
κηΰτυκτον κυνέαν Λάκαι-
ναν κρατὸς πέρι πυρσοχαίτου·
χιτῶνα πορφύρεον
στέρνοις τ᾽ ἀμφί, καὶ οὔλιον
Θεσσαλὰν χλαμύδ᾽· ὀμμάτων δὲ
στίλβειν ἄπο Λαμνίαν
φοίνισσαν φλόγα· παῖδα δ᾽ ἔμμεν
πρώθηβον, ἀρηΐων δ᾽ ἀθυρμάτων
μεμνᾶσθαι πολέμου τε καὶ
χαλκεοκτύπου μάχας·
δίζησθαι δὲ φιλαγλάους Ἀθάνας.

## ΝΕΟΣ ΔΙΘΥΡΑΜΒΟΣ

**Απ. 939 *PMG*** (=Αιλιανός *Φυσ. Ιστ.* 12.45) [περίπου 400 π.Χ.]

ὕψιστε θεῶν
πότνιε χρυσοτρίαινε Πόσειδον
γαιάοχε †ἐγκυμονάλμαν†˙
βραγχίοις δὲ περί σε πλωτοὶ
θῆρες χορεύουσι κύκλωι
κούφοισι ποδῶν ῥίμμασιν
ἐλάφρ᾽ ἀναπαλλόμενοι, σιμοὶ
φριξαύχενες ὠκύδρομοι σκύλακες, φιλόμουσοι
δελφῖνες, ἔναλα θρέμματα
κουρᾶν Νηρεΐδων θεᾶν,
ἃς ἐγείνατ᾽ Ἀμφιτρίτα˙ (1–11)

Αριστοφάνης *Βάτραχοι* 1309-1363

Αισχ. ἀλκυόνες, αἳ παρ᾽ ἀενάοις θαλάσσης
κύμασι στωμύλλετε,
τέγγουσαι νοτίοις πτερῶν
ῥανίσι χρόα δροσιζόμεναι·
αἵ θ᾽ ὑπωρόφιοι κατὰ γωνίας

εἱειειειλίσσετε δακτύλοις φάλαγγες
ἱστόπονα πηνίσματα,
κερκίδος ἀοιδοῦ μελέτας,
ἵν᾽ ὁ φίλαυλος ἔπαλλε δελφὶς
πρῴραις κυανεμβόλοις
μαντεῖα καὶ σταδίους,
οἰνάνθας γάνος ἀμπέλου,
βότρυος ἕλικα παυσίπονον.
περίβαλλ᾽ ὦ τέκνον ὠλένας.
ὁρᾷς τὸν πόδα τοῦτον;

Δι. ὁρῶ.
Αισχ. τί δαί; τοῦτον ὁρᾷς;
Δι. ὁρῶ.
Αισχ. τοιαυτὶ μέντοι σὺ ποιῶν
τολμᾷς τἀμὰ μέλη ψέγειν,
ἀνὰ τὸ δωδεκαμήχανον
Κυρήνης μελοποιῶν;
τὰ μὲν μέλη σου ταῦτα: βούλομαι δ᾽ ἔτι
τὸν τῶν μονῳδιῶν διεξελθεῖν τρόπον.
ὦ νυκτὸς κελαινοφαὴς
ὄρφνα, τίνα μοι
δύστανον ὄνειρον
πέμπεις ἐξ ἀφανοῦς,
Ἀίδα πρόμολον,
ψυχὰν ἄψυχον ἔχοντα,
μελαίνας Νυκτὸς παῖδα,
φρικώδη δεινὰν ὄψιν,
μελανονεκυείμονα,
φόνια φόνια δερκόμενον,
μεγάλους ὄνυχας ἔχοντα.
ἀλλά μοι ἀμφίπολοι λύχνον ἅψατε
κάλπισί τ᾽ ἐκ ποταμῶν δρόσον ἄρατε, θέρμετε δ᾽ ὕδωρ,
ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω.
ἰὼ πόντιε δαῖμον,
τοῦτ᾽ ἐκεῖν᾽· ἰὼ ξύνοικοι,
τάδε τέρα θεάσασθε.
τὸν ἀλεκτρυόνα μου συναρπάσασα
φρούδη Γλύκη.
Νύμφαι ὀρεσσίγονοι.
ὦ Μανία ξύλλαβε.
ἐγὼ δ᾽ ἁ τάλαινα προσέχουσ᾽ ἔτυχον
ἐμαυτῆς ἔργοισι,
λίνου μεστὸν ἄτρακτον
εἱειειειλίσσουσα χεροῖν
κλωστῆρα ποιοῦσ᾽, ὅπως
κνεφαῖος εἰς ἀγορὰν
φέρουσ᾽ ἀποδοίμαν·
ὁ δ᾽ ἀνέπτατ᾽ ἀνέπτατ᾽ ἐς αἰθέρα
κουφοτάταις πτερύγων ἀκμαῖς·

ἐμοὶ δ᾽ ἄχε᾽ ἄχεα κατέλιπε,
δάκρυα δάκρυά τ᾽ ἀπ᾽ ὀμμάτων
ἔβαλον ἔβαλον ἁ τλάμων.
ἀλλ᾽ ὦ Κρῆτες, Ἴδας τέκνα,
τὰ τόξα λαβόντες ἐπαμύνατε,
τὰ κῶλά τ᾽ ἀμπάλλετε κυκλούμενοι τὴν οἰκίαν.
ἅμα δὲ Δίκτυννα παῖς Ἄρτεμις καλὰ
τὰς κυνίσκας ἔχουσ᾽ ἐλθέτω διὰ δόμων πανταχῇ,
σὺ δ᾽ ὦ Διὸς διπύρους ἀνέχουσα
λαμπάδας ὀξυτάτας χεροῖν Ἑκάτα παράφηνον
ἐς Γλύκης, ὅπως ἂν
εἰσελθοῦσα φωράσω.

**Φερεκράτης *Χείρων* απ. 155 Κ–Α** (= Πλούταρχος *Ηθικά* 1141e–f)

**Μουσ.)** λέξω μὲν οὐκ ἄκουσα˙ σοί τε γὰρ κλυεῖν
ἐμοί τε λέξαι θυμὸς ἡδονὴν ἔχει.
ἐμοὶ γὰρ ἦρξε τῶν κακῶν Μελανιππίδης,
ἐν τοῖσι πρῶτος ὃς λαβὼν ἀνῆκέ με
χαλαρωτέραν τ᾽ ἐποίησε χορδαῖς δώδεκα.
ἀλλ᾽ οὖν ὅμως οὗτος μὲν ἦν ἀποχρῶν ἀνὴρ
ἔμοιγε –ῡ–υ πρὸς τὰ νῦν κακά.
Κινησίας δε <μ'> ὁ κατάρατος Ἀττικός,
ἐξαρμονίους καμπὰς ποιῶν ἐν ταῖς στροφαῖς
ἀπολώλεχ᾽ οὕτως, ὥστε τῆς ποιήσεως
τῶν διθυράμβων, καθάπερ ἐν ταῖς ἀσπίσιν,
ἀριστέρ᾽ αὐτοῦ φαίνεται τὰ δεξιά.
ἀλλ᾽ οὖν ἀνεκτὸς οὗτος ἦν ὅμως ἐμοί.
Φρῦνις δ᾽ ἴδιον στρόβιλον ἐμβαλών τινα
κάμπτων με καὶ στρέφων ὅλην διέφθορεν,
ἐν πέντε χορδαῖς δώδεχ᾽ ἁρμονίας ἔχων.
ἀλλ᾽ οὖν ἔμοιγε χοὖτος ἦν ἀποχρῶν ἀνήρ˙
εἰ γάρ τι κἀξήμαρτεν, αὖτις ἀνέλαβεν.
ὁ δὲ Τιμόθεός μ', ὦ φιλτάτη, κατορώρυχε
καὶ διακέκναικ᾽ αἴσχιστα. **(Δικ.)** ποῖος οὑτοσὶ
<ὁ> Τιμόθεος; **(Μουσ.)** Μιλήσιός τι πυρρίας.
κακά μοι παρέσχεν οὗτος, ἅπαντας οὓς λέγω
παρελήλυθεν, ἄγων ἐκτραπέλους μυρμηκιάς.
κἂν ἐντύχῃ πού μοι βαδιζούσῃ μόνῃ
ἀπέδυσε κἀνέλυσε χορδαῖς δώδεκα
ἐξαρμονίους ὑπερβολαίους τ᾽ ἀνοσίους
καὶ νιγλάρους, ὥσπερ τε ταὰς ῥαφάνους ὅλην
καμπῶν με κατεμέστωσε. (1–28)

Αριστοφάνης *Πλούτος* 290-301 (**παρωδία του διθύραμβου *Κύκλωψ* του ποιητή Φιλόξενου**)

**Κα.** καὶ μὴν ἐγὼ βουλήσομαι θρεττανελὸ τὸν Κύκλωπα
μιμούμενος καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων
ὑμᾶς ἄγειν. ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες
βληχώμενοί τε προβατίων
αἰγῶν τε κιναβρώντων μέλη
ἕπεσθ' ἀπεψωλημένοι˙ τράγοι δ' ἀκρατιεῖσθε.
**Χο.** ἡμεῖς δε γ' αὖ ζητήσομεν θρεττανελὸ τὸν Κύκλωπα
βληχώμενοι, σὲ τουτονὶ πεινῶντα καταλαβόντες,
πήραν ἔχοντα λάχανά τ' ἄγρια δροσερά, κραιπαλῶντα
ἡγούμενον τοῖς προβατίοις,
εἰκῇ δὲ καταδαρθόντα που
μέγαν λαβόντες ἡμμένον σφηκίσκον ἐκτυφλῶσαι. (290–301)

Πλάτων *Πολιτεία* 396b 5–7: ἵππους χρεμετίζοντας καὶ ταύρους μυκωμένους καὶ ποταμοὺς ψοφοῦντας καὶ θάλατταν κτυποῦσαν καὶ βροντὰς καὶ πάντα τὰ τοιαῦτα ἦ μιμήσονται;